# Stichoi

## Στίχοι παραινετικοὶ τοῦ Χρυσοστόμου.

Ὅστις βούλεται τὸ φῶς ἐκεῖνο βλέψαι, Ὀφείλει ταῦτα φυλάττειν ἐν καρδίᾳ· Παθῶν σαρκικῶν καὶ λογισμῶν ἀχρείων, Ὅρκου τε παντὸς, θυμοῦ καὶ ταραχῆς δὲ, Καὶ περισπασμοῦ καὶ τῆς μνησικακίας, Καὶ τοῦ μὴ κρῖναι τὸ σύνοχον ἀνθρώπους, Εἶναι δὲ αὐτὸν λογικὸν καὶ τοὺς φρένας, Καθαρόν τε τῶν σαρκικῶν μολυσμάτων, Πρᾶον, ταπεινὸν, ἡσύχιον ὑπάρχειν, Ἐξαγγελτικὸν καὶ τῆς εἰρήνης τέκνον, Ἐγκρατῆ εἶναι βρωμάτων καὶ πομάτων, Καὶ τῇ προσευχῇ σχολάζειν ἀνενδότως, Ἐν πᾶσι τούτοις, ἀρχὴν καὶ τέλος ἔχειν, Τὸ κεφάλαιον ἀρετῶν, τὴν ἀγάπην.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.